ὑπότροφοι μαθηταὶ κατὰ μῆνα λαμβανέτωσαν τὸ τεταγμένον καὶ ἐξεταζέσθωσαν (τόνδε) τὸν τρόπον. Οἱ ἔφοροι καὶ ἐπίτροποι, ὡς θιασῶται τῶν Μουσῶν, καὶ φιλόλογοι καὶ φιλογενεῖς συναρχέσθωσαν ἐν τῇ Σχολῇ καὶ προσφωνείτωσαν τοῖς διδασκάλοις τῷ τε φιλοσόφῳ καὶ τῷ πρώτῳ τῶν γραμματικῶν ἀρὰς καὶ ἀφορισμοὺς μή τι πρὸς χάριν ἢ διὰ ἀπέχθειαν εἴπωσι, καὶ οὕτω πυνθανέσθωσαν αὐτῶν ὁπόσους ἐν τῇ Σχολῇ ἔχουσι μαθητὰς, οἷοι ἐν τῷ πρὸ τούτου κεφαλαίῳ προσδιορίζονται. Εἶτα ἐγγράφως ἐν καταστίχῳ παραλαμβανέτωσαν μὲν παρὰ τῶν ῥηθέντων δύο διδασκάλων τὰ ὀνόματα τῶν μηδαμόθεν ἄλλοθεν ἐχόντων πόρον ζωῆς ἐπιμελῶν καὶ εὐφυῶν μαθητῶν, ὅμως δὲ καὶ αὐτοὶ τῶν μαθητῶν ἐκείνων καθ' ἕκαστον πεῖραν τῆς ἐπιδόσεως λαμβάνοντες, ἐρωτήσεις τε καὶ ἀπορίας τὰς προσηκούσας παραβάλλοντες, ὅσοι περ ἂν φανῶσι τῇ ἐπιδόσει τοιοῦτοι, ὅσους οἱ διδάσκαλοι εἶπον, ἐκείνους ἐπαίνοις τε καὶ ἐλπίσιν. . . . . ὡς ἀθληθέται πρὸς τὸν τῆς παιδείας ἔρωτα. Ἐὰν δὲ νοσήσωσί τινες τῶν μαθητῶν, ἔστω φροντὶς τῶν ἐπιτρόπων περὶ τῆς προσηκούσης νοσηλείας ἐκείνων.

(Ἀκολουθεῖ)

---

## Ο ΚΑΛΙΒΑΝΟΣ

(Συνέχεια· ἴδε ἀριθμ. Β'. σελ. 43).

### ΠΡΑΞΙΣ ΔΕΥΤΕΡΑ.

*Κῆπος τῶν ἀνακτόρων τοῦ Μιλάνου.*

### ΣΚΗΝΗ ΠΡ ΤΗ.

*Καλιβάνος (κεκρυμμένος)*, Γόνζαλος, Ὀρλάνδος, Ἡρακλῆς, Τριφονέτος, Ῥουγγέρος, Ῥινάλδος, Βαλδύκιος, Βελιλάκουας, Βάγνερ, Σιμπλίκων, Λεονάρδος, Τρίνκουλος, Ὑάκινθος, Γασπαρόνης, Ἰμπεριάς, Ζιτέλλα, Ἀντζολῖνος, Ἰακωβῖνος, Βυταδέος, νεανίαι, κύριοι, μουσικοί, ἀγγελιαφόροι, χωρικοὶ τοῦ Μιλάνου, ἑταῖραι.